eul_wid: kpk-ab

*Μάχων ὁ Σινωπεύς* · Machon of Sinope

# Culinary and Comic Fragments

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης. τοῦτ’ εἴτε
book 1.2 πρῶτοι Μακεδόνες
book 1.3 τοῖς Ἀττικοῖς κατέδειξαν ἡμῖν, εἴτε πάντες οἱ θεοί, οὐκ οἶδα· πλήν γ’ ὅτι μουσικωτάτου
book 1.4 τινὸς
book 2.1 ὀψοφάγος εἰμί. τοῦτο δ’ ἐστὶ τῆς τέχνης θεμέλιος ἡμῖν. προσπεπονθέναι
book 2.2 τι δεῖ τὸν μὴ τὰ παρατεθέντα λυμανούμενον. πεφροντικὼς αὑτοῦ γὰρ οὐκ ἔσται κακός. [ln_5]ἔπειτ’ ἐπὰν ᾖ καθαρὰ τᾀσθητήρια, οὐκ ἂν διαμάρτοις. ἕψε καὶ γεύου
book 2.3 πυκνά. ἅλας οὐκ ἔχει· προσένεγκ’. ἔτ’ ἐπιδεῖταί τινος ἑτέρου· πάλιν γεύου σὺ μέχρι ἂν ἡδὺς ᾖ· ὥσπερ λύραν ἐπίτειν’ ἕως ἂν ἁρμόσῃ·[ln_10]εἶθ’ ὁπόταν ἤδη πάντα
book 2.4 συμφωνεῖν δοκῇς, εἴσαγε διὰ πασῶν Νικολαΐδας Μυκόνιος.